3. Ἐκπεσὼν δὲ τῆς ἀρχῆς πρὸς μὲν τὸν εἰπόντα ‘τί σε Πλάτων καὶ φιλοσοφία ὠφέλησε;’ ‘τὸ τηλικαύτην’ ἔφη ‘τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν.’

4. Ἐρωτηθεὶς δὲ πῶς ὁ μὲν πατὴρ αὐτοῦ πένης ὢν καὶ ἰδιώτης ἐκτήσατο τὴν Συρακοσίων ἀρχήν, αὐτὸς δὲ ἔχων καὶ τυράννου παῖς ὢν [πῶς] ἀπέβαλεν, ‘ὁ μὲν πατήρ’ ἔφη ‘μισουμένης δημοκρατίας ἐνέπεσε τοῖς πράγμασιν, ἐγὼ δὲ φθονουμένης τυραννίδος.’

5. Ὑπ’ ἄλλου δὲ τὸ αὐτὸ τοῦτο ἐρωτηθείς ‘ὁ πατήρ’ ἔφη ‘μοι τὴν τυραννίδα τὴν ἑαυτοῦ κατέλιπεν, οὐ τὴν τύχην.’ E

## ΑΓΑΘΟΚΛΗΣ 11

1. Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθεὶς εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν ὅτι τοιαῦτα ποιῶν πρότερον νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν.

2. Πολιορκοῦντος δὲ πόλιν αὐτοῦ τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦντο λέγοντες ὅτι ‘ὦ κεραμεῦ, τὸν μισθὸν πόθεν ἀποδώσεις τοῖς στρατιώταις;’ ὁ δὲ πράως καὶ μειδιῶν εἶπεν ‘αἴκα ταύταν ἕλω.’ λαβὼν δὲ κατὰ